# 0345-0407 - Iohannes Chrysostomus - In venerabilem crucem sermo

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 139 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In venerabilem crucem sermo

[00001] ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝ καὶ ζωοποιὸν σταυρὸν, καὶ περὶ τῆς τῶν πρώτων ἀνθρώπων παραβάσεως.

50.815

[00002] Τί εἴπω, ἢ τί λαλήσω;

[00003] ἢ τίνας ὑμᾶς καλέσω;

[00004] πρόβατα, ἢ ποιμένας;

[00005] ναύτας, ἢ κυβερνήτας;

[00006] [50.816] μαθητὰς, ἢ διδασκάλους;

[00007] πῶς ὑμῶν θαυμάσω τὸν ζῆλον τὸν πυρὸς λαβρότερον;

[00008] Πρόβατα ὑμᾶς καλέσω, καὶ γάρ ἐστε πραεῖς καὶ ἡσύχιοι.

[00009] Ποιμένας ὑμᾶς [50.817] καλέσω;

[00010] καὶ γάρ ἐστε μιμούμενοι τὸν ἑαυτῶν Δεσπότην.

[00011] Ναύτας ὑμᾶς καλέσω;

[00012] καὶ γάρ ἐστε τῇ πείρᾳ τῶν κλυδωνίων χειμῶνα ὑπομείναντες.

[00013] Κυβερνήτας ὑμᾶς καλέσω;

[00014] καὶ γάρ ἐστε Καθάπερ γάρ τις ἄριστος κυβερνήτης καθήμενος ἐπὶ τῶν οἰάκων, τῇ τέχνῃ τὰς τρικυμίας διαφεύγων, καὶ σῶον ἀποσώζων τὸ σκάφος, ἐπ' εὔδιον λιμένα χειραγωγεῖ·

[00015] οὕτω δὴ καὶ ὑμεῖς.

[00016] Ἀλλὰ μαθητὰς ὑμᾶς καλέσω;

[00017] καὶ γάρ ἐστε ἕτοιμοι πρὸς τὴν ὑπακοήν.

[00018] Ἀλλὰ διδασκάλους ὑμᾶς καλέσω;

[00019] Πάλιν ἐρῶ, Ἐστὲ, ἁπάσης γὰρ τῆς οἰκουμένης διδάσκαλοι Ἐγένεσθε.

[00020] Τί οὖν ἐροῦμεν;

[00021] Βούλομαι σήμερον ὑμῖν τράπεζαν παραθεῖναι πνευματικὴν, οὐ σῶμα τρέφουσαν, ἀλλὰ πνεῦμα τειχίζουσαν, μᾶλλον δὲ καὶ σῶμα τρέφουσαν, καὶ ψυχὴν ἀποσμήχουσαν.

[00022] Τοιαύτη γάρ ἐστιν ἡ τράπεζα πνευματικὴ, οὐ καθὼς ἡ τράπεζα τῶν γαστριμάργων κόρον ἐμποιοῦσα.

[00023] Λόγος γάρ ἐστι πνευματικὸς εὐωδίας πνέων·

[00024] ὑπομιμνησκόμενος γὰρ αὐτὸν ἄνθρωπος, καθάπερ μύρον μασσώμενος, εὐωδίαν τινὰ ἐκπέμπει, οὐ μόνον ἑαυτὸν τῇ εὐωδίᾳ παραμυθούμενος, ἀλλὰ καὶ τοὺς παρεστῶτας αὐτῷ πληροῦσθαι τῆς εὐωδίας ἐκείνης παρασκευάζων.

[00025] Συντείνατε δὴ ἑαυτούς·

[00026] λόγον γὰρ ἐξαγαγεῖν βούλομαι.

[00027] Καὶ γάρ τινές εἰσι τῶν κολυμβητῶν ῥίπτοντες ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὴν θάλασσαν, περιερχόμενοι τὸν βυθὸν, βουλόμενοι μαργαρίτην ἀνιμήσασθαι·

[00028] ἡμεῖς δὲ ἔχοντες ἀντὶ σκάφους τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην, ἀντὶ πηδαλίου τὸν σταυρὸν, ἀντὶ κυβερνήτου τὸν Χριστὸν, ἀντὶ πρωρέως τὸν Πατέρα, ἀντὶ ζεφύρου τὸ Πνεῦμα τὸ ἅγιον, ἀντὶ ἱστίου τὴν χάριν, ἀντὶ ναυτῶν τοὺς μαθητὰς, ἀντὶ ἐπιβατῶν τοὺς προφήτας, οὐκοῦν καὶ ἡμεῖς ῥίψωμεν ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὸ πέλαγος τῶν νοημάτων, οὐχ ἵνα μαργαρίτην ἀνιμησώμεθα, ἀλλὰ μαργαρίτου τιμιώτερον.

[00029] Συντείνατέ μοι ἑαυτοὺς, παρακαλῶ, παρέχοντές μοι τὴν ὑπακοήν·

[00030] καθὼς γὰρ προλαβὼν εἶπον, ὅτι μαργαρίτου τιμιώτερον μέλλω ἀνιμᾶσθαι ἐκ τοῦ βάθους τῶν νοημάτων.

[00031] Μὴ οὖν παραπέμψησθε, καὶ ὡς ἀλογίστοις χρήσησθε ἑαυτοῖς.

[00032] Γέγραπται γάρ·

[00033] Μὴ βάλητε τὸν μαργαρίτην ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ μὴ ῥίπτητε τὰ ἅγια τοῖς κυσί.

[00034] Χοίρους δὲ ὅταν ἀκούσῃς, μὴ τὰ ἄλογα ζῶα ταῦτα νομίσῃς·

[00035] καὶ κύνας ὅταν ἀκούσῃς, μὴ τοὺς κύνας τούτους νομίσῃς.

[00036] Χοίρους γὰρ λέγει τοὺς ἐν ἀσωτίᾳ ζῶντας·

[00037] κύνας δὲ λέγει τοὺς εἰκῇ λυσσῶντας κατὰ τοῦ Δεσπότου.

[00038] Ποιήσατε οὖν ἀξίους ἑαυτοὺς εἶναι τοῦ μαργαρίτου οὗ μέλλω ὑμῖν σήμερον παρατιθέναι.

[00039] Καὶ γὰρ οἱ γηπόνοι οὐχ ἁπλῶς τὰ σπέρματα καταβάλλονται, ἐὰν μὴ πρῶτον βοῦς ζεύξωσι, καὶ ἄροτρον ἑλκύσωσι, καὶ ἀκάνθας ἀνασπάσωσι, καὶ αὔλακας ἀνατέμωσι, καὶ τότε τὰ σπέρματα καταβάλλονται ἐπὶ τὴν γῆν, ἵνα εὑρὼν αὐτὰ ὁ ὑετὸς κατενέγκῃ εἰς τὰς λαγόνας τῆς γῆς·

[00040] καὶ τότε λαβοῦσα ἡ γῆ, τίκτει τὸν ἄσταχυν.

[00041] Ἀλλὰ ἐκεῖνα μὲν ἐκδέχονται καὶ χειμῶνα, καὶ θέρος, καὶ ὄμβρον οὐράνιον, καὶ ἡλίου ἀκτῖνας, καὶ καιρὸν θερισμοῦ, καὶ τότε συνάγουσιν αὐτὰ εἰς τὰς ἀποθήκας·

[00042] ἐγὼ δὲ οὐ χειμῶνα ἐκδέχομαι, οὐδὲ θέρος, οὐδὲ ἡλίου ἀκτῖνας, οὐδὲ ὄμβρον, οὐδὲ βόας ζευγνύω, οὐδὲ ἄροτρον ἑλκύω, οὐδὲ αὔλακας ἀνατέμνω, οὔτε ἀκάνθας ἀνασπῶ·

[00043] σήμερον γὰρ σπείρω, σήμερον καὶ θερίζω.

[00044] Οὐκ ἐργάζομαι γὰρ γῆν ἄλογον, ἀλλὰ γῆν λογικὴν, οὐκ ἀναίσθητον, ἀλλ' αἰσθητὴν, οὐκ ἄψυχον, ἀλλὰ ψυχικήν.

[00045] Καὶ μακάριος ἐγὼ ποταπῆς γῆς γεωργὸς ἐκληρώθην·

[00046] τότε γὰρ μακάριός εἰμι, ὅταν λαλῶ εἰς ὦτα ἀκουόντων.

[00047] Καὶ πάλιν λέγει·

[00048] Παρακοὴ θάνατον κατεργάζεται.

[00049] Μακάριος οὖν ἐγώ·

[00050] μακάριοι καὶ ὑμεῖς.

[00051] Καὶ γὰρ Ἰησοῦς ἐν τῷ Εὐαγγελίῳ λέγει τοῖς μαθηταῖς·

[00052] Μακάριοί ἐστε, ἐὰν τὸν ἐμὸν λόγον τηρήσετε.

[00053] Συντείναντες οὖν ἑαυτοὺς προσέχετε τοῖς λεγομένοις.

[00054] Βούλομαι δὲ ὑμῖν ἐν ὑποδείγμασι δεῖξαι τί ἐστι Θεός·

[00055] λόγῳ χρησάμενος λέγω·

[00056] Ἔοικεν ὁ Θεὸς ἀνδρὶ καθημένῳ ἐπὶ σκοπέλῳ, καὶ θεωροῦντι πᾶσαν τὴν θάλασσαν, πλοῖα δὲ βαδίζοντα ἐν αὐτῇ, τὴν δὲ ἐπίσαλον οὖσαν, τρικυμίαις δὲ ἐγείρουσαν ἑαυτὴν, διὰ τὸ σφοδροὺς ἐν αὐτῇ πνεῖν ἀνέ [50.818] μους·

[00057] ἄριστος δέ τις κυβερνήτης φιλονεικῶν τοῖς κύμασιν ἐπ' εὔδιον λιμένα τὸ σκάφος ὁρμίσαι, διὰ τὸ ὀψίαν αὐτοὺς καταλαμβάνειν, δεδοικὼς μήποτε ὑποβρύχιον γένηται τὸ πλοῖον, ἄλλων πλοίων τὴν ὀρθὴν ὁδὸν βαδιζόντων, ἑτέρων δὲ τῇ ῥύμῃ τῶν ἀνέμων ὑποβρυχίων γενομένων καὶ διαλυθέντων, τεθνηκότων δέ τινων, τινῶν δὲ περιγενομένων, καὶ ἐπιλαβομένων οἰκτροῦ τινος πηδαλίου, καὶ ταῖς τρικυμίαις ἐπὶ τὴν στερεὰν ἐξελκομένων, καὶ τῶν ἤδη τεθνηκότων τὰ σώματα ἐξεῤῥιμμένα.

[00058] Ταῦτα δὲ πάντα θεωρεῖ ὁ καθήμενος ἐπὶ τῷ σκοπέλῳ·

[00059] οὗτός ἐστιν ὁ Θεός·

[00060] καὶ καθὼς προλαβὼν εἶπον, ὅτι λόγῳ χρησάμενος λέγω.

[00061] Ὅταν δὲ εἴπω Θεὸν καθήμενον ἐν ὑψηλοῖς, μὴ νόμιζε αὐτὸν ἐν τοῖς ὑψηλοῖς εἶναι μόνον, ἀλλὰ καὶ πανταχοῦ.

[00062] Οὐ γὰρ τόπου διάστασιν ἔχει, αὐτὸς ἑαυτοῦ τόπος ὢν, αὐτὸς τὰ πάντα χωρῶν, χωρεῖ δὲ αὐτὸν οὐδέν.

[00063] Τί γὰρ δύναται χωρῆσαι τὴν ἀσώματον φύσιν καὶ ἄϋλον καὶ ἀπέραντον καὶ ἀνεξιχνίαστον, καὶ ἀνώλεθρον καὶ ἄφθαρτον καὶ ἀκατάληπτον;

[00064] παρὰ γὰρ τοῖς εὐσεβοῦσιν οὕτω δεῖ νοεῖν Θεόν.

[00065] Αὕτη γὰρ ἡμῶν ἡ ἐλπὶς, καθὼς γέγραπται·

[00066] Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

[00067] Ἐντεῦθεν ἡμῶν ἐπιλαμβάνονται οἱ αἱρετικοὶ, οἱ ὄντες ἀγνώμονες, οἱ ἀναγινώσκοντες, καὶ μὴ ἐπιγινώσκοντες·

[00068] Χριστὸν δὲ σὺ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίζου μόνον, μήτε τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλὰ τὸ συναμφότερον, καὶ τὸν Θεὸν Λόγον καὶ τὴν ἔνσαρκον οἰκονομίαν.

[00069] Ἐπεὶ οἶδα Χριστὸν πεινάσαντα, καὶ οἶδα Χριστὸν ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων θρέψαντα πεντακισχιλίους χωρὶς γυναικῶν καὶ παιδίων·

[00070] οἶδα Χριστὸν διψήσαντα, καὶ οἶδα Χριστὸν τὸ ὕδωρ εἰς οἶνον μεταβαλόντα·

[00071] οἶδα Χριστὸν πλεύσαντα, καὶ οἶδα Χριστὸν ἐπὶ τῶν ὑδάτων περιπατήσαντα·

[00072] οἶδα Χριστὸν ἀποθανόντα, καὶ οἶδα Χριστὸν νεκροὺς ἐγείραντα·

[00073] οἶδα Χριστὸν Πιλάτῳ παρεστῶτα, καὶ οἶδα Χριστὸν τῷ Πατρὶ συγκαθεζόμενον·

[00074] οἶδα Χριστὸν ὑπὸ Ἰουδαίων ἐμπτυόμενον, καὶ οἶδα Χριστὸν ὑπὸ ἀγγέλων προσκυνούμενον·

[00075] καὶ τὸ μὲν ἐπάγω τῇ θεότητι, τὸ δὲ τῇ ἀνθρωπότητι.

[00076] Διὰ γὰρ τοῦτο συναμφότερον εἴρηται, ἐπεὶ οἶδα Χριστὸν ἐκ Μαρίας γεννηθέντα, καὶ οἶδα Χριστὸν πρὸ τῶν αἰώνων ὄντα.

[00077] Δοξάσωμεν μὲν οὖν Ἰησοῦν τὸν Χριστὸν, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὸν θεμέλιον τὸν ἐπὶ τὴν πέτραν τεθεμελιωμένον.

[00078] Αὐτὸς λέγει τῷ Πέτρῳ·

[00079] Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

[00080] Ὁμοίως δὲ καὶ Παῦλος λέγει·

[00081] Θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.

[00082] Παρακαλῶ οὖν ὑμᾶς ἵνα πάσῃ πραότητι προσέχωμεν ἀλλήλοις, Ἐν μὲν γὰρ τῷ παρόντι βίῳ βρώσει καὶ πόσει καὶ ποικίλαις ἡδοναῖς δελεαζόμεθα, ἐν δὲ τῷ μέλλοντι, κρίσις καὶ δίκη.

[00083] Μὴ δώσωμεν οὖν τόπον τῷ διαβόλῳ.

[00084] Οὐ γὰρ ἡμῖν ἐστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου.

[00085] Σπεύσωμεν οὖν φυγεῖν τὴν αἰώνιον κόλασιν.

[00086] Οὐ γὰρ ἐποίησεν ὁ Θεὸς τὴν κόλασιν, ἵνα ἡμᾶς ἐμβάλῃ, ἀλλ' ἵνα ἐμπεσόντα σε ἐκβάλῃ·

[00087] τοιοῦτον γὰρ ἔχομεν φιλάνθρωπον Θεὸν καὶ ἐλεήμονα.

[00088] Μαρτυρεῖ γὰρ Δαυῒδ λέγων·

[00089] Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.

[00090] Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·

[00091] τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτὸ, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου.

[00092] Ταῦτα λέγει ὁ Θεὸς, οὐχ ἵνα ἡμᾶς κρίνῃ, ἀλλ' ἵνα μὴ ῥᾳθυμότεροι γενώμεθα.

[00093] Εἰ γὰρ ἐβούλετο ἡμᾶς ἀπολέσαι, οὐκ ἂν τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἡμῶν.

[00094] Ἀπέθανεν οὖν, ἵνα σοι ἀθανασίαν χαρίσηται·

[00095] ἐπείνασεν, ἵνα σε τὴν ἑαυτοῦ σάρκα χορτάσῃ·

[00096] ἐδίψησεν, ἵνα σε τὸ ἑαυτοῦ αἷμα ποτίσῃ·

[00097] ἐν πλοίῳ ἐκάθισεν, ἵνα σε ὑπεράνω τῶν Χερουβὶμ καθίσῃ·

[00098] ἐβαπτίσθη, ἵνα σε φωτίσῃ·

[00099] ἐῤῥαπίσθη, ἵνα σε ἐλευθερώσῃ·

[00100] ὡδοιπόρησεν, ἵνα σε ἀκάματον ποιήσῃ·

[00101] ἔπλευσε, ἵνα σε ἄφοβον καταστήσῃ·

[00102] ἐκοιμήθη, ἵνα σε ἀμέριμνον ποιήσῃ·

[00103] ἐκ γυναικὸς προσῆλθεν, ἵνα τὴν παράβασιν τὴν ἐν τῷ παραδείσῳ οἰκτειρήσῃ·

[00104] ἐκλήθη ἄνθρωπος, ἵνα σε θεὸν [50.819] καλέσῃ·

[00105] ἐκλήθη Υἱὸς ἀνθρώπου, ἵνα σε υἱὸν Θεοῦ καλέσῃ·

[00106] ἔλαβε τὰ ἡμέτερα, καὶ ἔδωκεν ἡμῖν τὰ ἑαυτοῦ·

[00107] ηὔξατο, ἵνα σε πιστὸν ποιήσῃ, καθὼς λέγει ἐπὶ τοῦ Λαζάρου·

[00108] Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε.

[00109] Καὶ ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν, λέγουσα·

[00110] Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

[00111] Οἶδα ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν παρεστῶτα ὄχλον εἶπον, ἵνα πάντες πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.

[00112] Εἴ τι οὖν ὑπέστη, οὐ δι' ἑαυτὸν ὑπέστη, οὐδὲ διὰ τὸν Πατέρα τὸν ἑαυτοῦ, ἀλλ' ἵνα σώσῃ τὸ ἀνθρώπινον γένος διὰ τοῦ σταυροῦ.

[00113] Καὶ εἰ θέλεις γνῶναι, ἀγαπητὲ, τὴν δύναμιν τοῦ σταυροῦ, καὶ ὅσα δὴ ἐγκώμια περὶ τοῦ σταυροῦ, ἄκουε.

[00114] Σταυρὸς Χριστιανῶν ἐλπὶς, σταυρὸς νεκρῶν ἀνάστασις, σταυρὸς τυφλῶν ὁδηγὸς, σταυρὸς ἀπηλπισμένων ἐλπὶς, σταυρὸς πεπλανημένων ὁδὸς, σταυρὸς ἀδικουμένων ἔκδικος, σταυρὸς χωλῶν βακτηρία, σταυρὸς πενήτων παραμυθία, σταυρὸς πλουσίων χαλινὸς, σταυρὸς ὑπερηφάνων καθαίρεσις, σταυρὸς ἀκολάστων μετάνοια, σταυρὸς τρόπαιον κατὰ δαιμόνων, σταυρὸς διαβόλου νῖκος, σταυρὸς νηπίων παιδαγωγὸς, σταυρὸς ἀπόρων εὐπορία, σταυρὸς πλεόντων κυβερνήτης, σταυρὸς χειμαζόντων λιμὴν, σταυρὸς πολεμουμένων τεῖχος, σταυρὸς πατὴρ ὀρφανῶν, σταυρὸς προστάτης χηρῶν, σταυρὸς ἀδίκων κριτὴς, σταυρὸς δικαίων στῦλος, σταυρὸς θλιβομένων ἄνεσις, σταυρὸς νηπίων φύλαξ, σταυρὸς ἀνδρῶν κεφαλὴ, σταυρὸς πρεσβυτέρων τέλος, σταυρὸς φῶς τοῖς ἐν σκότει καθημένοις, σταυρὸς βασιλέων μεγαλοπρέπεια, σταυρὸς βαρβάρων φιλανθρωπία, σταυρὸς δούλων ἐλευθερία, σταυρὸς ἀπαιδεύτων σοφία, σταυρὸς ἀνόμων νόμος, σταυρὸς προφητῶν κήρυγμα, σταυρὸς ἀποστόλων κατάγγελμα, σταυρὸς μαρτύρων καύχημα, σταυρὸς μοναζόντων ἄσκησις, σταυρὸς παρθένων σωφροσύνη, σταυρὸς ἱερέων χαρὰ, σταυρὸς Ἐκκλησίας θεμέλιος, σταυρὸς οἰκουμένης ἀσφάλεια, σταυρὸς ναῶν καθαίρεσις, σταυρὸς βωμῶν ἀνατροπὴ, σταυρὸς κνίσσης ἀφανισμὸς, σταυρὸς Ἰουδαίων σκάνδαλον, σταυρὸς ἀσεβῶν ἀπώλεια, σταυρὸς ἀδυνάμων δύναμις, σταυρὸς νοσούντων ἰατρὸς, σταυρὸς λεπρῶν καθαρισμὸς, σταυρὸς παραλυτικῶν σφίγξις, σταυρὸς πεινώντων ἄρτος, σταυρὸς διψώντων πηγὴ, σταυρὸς γυμνῶν σκέπη·

[00115] γυμνότητα δὲ ὅταν εἴπω, οὐ τὴν τοῦ σώματος λέγω, ἀλλὰ τὴν τῆς πίστεως.

[00116] Ὅταν δὲ πιστεύσας βαπτισθῇς, τότε ἀκούσεις ἐνδεδυμένος.

[00117] Καὶ ἄκουε Παύλου λέγοντος·

[00118] Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

[00119] Χριστὸν δὲ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίσῃ μόνον, μηδὲ τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλὰ τὸ συναμφότερον.

[00120] Πολλάκις γὰρ εἶπον, καὶ νῦν λέγων οὐ παύσομαι·

[00121] Ἐμοὶ μὲν γὰρ τὸ λέγειν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές·

[00122] βούλομαι γὰρ πάντας διδασκάλους εἶναι.

[00123] Χριστὸς οὖν εἴρηται, ἐπειδὴ σάρκα ἐνεδύσατο·

[00124] Ἰησοῦς Χριστὸς εἴρηται, τὸ ὄνομα τῆς σαρκὸς αὐτοῦ·

[00125] Λόγος εἴρηται, ἐπειδὴ ἔκ τινος Υἱός·

[00126] Υἱὸς, ἐπειδὴ ἐκ Πατρός·

[00127] Μονογενὴς, ἐπειδὴ μόνος ἐκ μόνου Θεοῦ·

[00128] Θεὸς, ἐπειδὴ ποιητής.

[00129] Καὶ ἄκουε Ἰωάννου λέγοντος·

[00130] Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος·

[00131] οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν·

[00132] πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν.

[00133] Ὁρᾷς ὅτι οὗτός ἐστιν ὁ λόγῳ τὸν οὐρανὸν ἐκτείνας, καὶ τὸν ποικίλον χορὸν τῶν ἄστρων κοσμήσας, καὶ δείξας καθάπερ λειμῶνα τὸν οὐρανόν;

[00134] Οὗτός ἐστιν ὁ τὸν ἥλιον ἀνάψας, καὶ τοὺς αὐτῷ τάξας δρόμους·

[00135] οὗτός ἐστιν ὁ τὴν σελήνην ὁρίσας εἰς δυσμάς·

[00136] οὗτός ἐστιν ὁ τὴν γῆν θεμελιώσας ἐπὶ τῶν ὑδάτων·

[00137] οὗτός ἐστιν, ὁ τῇ γῇ ἐπιτάξας ἀνατεῖλαι βοτάνην χόρτου, καὶ ταῖς πηγαῖς βρύειν ὕδατα, καὶ ποταμοῖς ῥέειν, καὶ λίμναις συναχθῆναι·

[00138] καὶ τῇ θαλάσσῃ ὅρια θεὶς διὰ ψάμμου, καὶ τοῖς ὕδασιν ἐπι [50.820] τάξας ἐκβαλεῖν ψυχὰς ζώσας, καὶ τοῖς ἀνέμοις πνέειν, καὶ τὰ ὄρη σταθμήσας ζυγῷ, νεφέλαις κινεῖσθαι, κτήνεσι, τετράποσιν, ἑρπετοῖς, πετεινοῖς διατρέχειν ἐπὶ τῆς γῆς.

[00139] Τί δὲ λέγω ἀγγέλους, ἀρχαγγέλους, θρόνους, τὰ Χερουβὶμ, τὰ Σεραφὶμ, Ἀρχὰς, Ἐξουσίας, τάξεις, χρόνους, καὶ ἐνιαυτοὺς, καὶ μῆνας, καὶ ἑβδομάδας, καὶ ἡμέρας, καὶ ὥρας, καὶ νύκτας, καὶ φῶς, καὶ σκότος, καὶ τὰς τῶν πραγμάτων οὐσίας;

[00140] Ἔσχατον δὲ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἑαυτοῦ, ἐν τῷ παραδείσῳ ἔθετο αὐτόν.

[00141] Ἰδὼν δὲ τὸ ἀνθρώπινον γένος νικώμενον ὑπὸ τῆς τοῦ διαβόλου κακίας, ἐβουλήθη τὴν ἀπαρχὴν τὴν ἡμετέραν ἐνδύσασθαι, καὶ προσηλῶσαι αὐτὴν ἐν τῷ ξύλῳ, ἵν', ὥσπερ διὰ τοῦ ξύλου ἡ παράβασις, οὕτω πάλιν διὰ τοῦ ξύλου ἡ σωτηρία.

[00142] Ζηλώσας οὖν ὁ διάβολος ὅτι αὐτὸς μὲν ἐκ τοῦ οὐρανοῦ ἐῤῥίφη, ὁ δὲ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἦν, καθάπερ ὅπλῳ χρησάμενος τῷ ὄφει ἐνήργησεν εἰς αὐτόν·

[00143] καὶ οὕτω προδιελέχθη αὐτοῖς οὖσιν ἐν τῷ παραδείσῳ·

[00144] ἀσώματος γὰρ σωματικοῖς διαλεχθῆναι οὐκ ἠδύνατο·

[00145] καί φησι πρὸς τὴν Εὔαν, ὅτι Καλὸν τὸ ξύλον τοῦτο καὶ ὡραῖον εἰς βρῶσιν·

[00146] καὶ, Ἐν ᾗ ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, ἔσεσθε ὡς θεοὶ πάντα γινώσκοντες.

[00147] Πείσας οὖν τὴν Εὔαν, ἠπάτησεν·

[00148] εἶτα ἐκείνη συνέπεισε τὸν ἑαυτῆς ἄνδρα, καὶ ἔφαγον ἀπὸ τοῦ ξύλου.

[00149] Φαγόντων δὲ αὐτῶν ὤφθησαν γυμνοί·

[00150] καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ·

[00151] Ποῦ εἶ;

[00152] Ὅταν ἀκούσῃς, Ποῦ εἶ, μὴ ἄγνοιαν λογίσῃ.

[00153] τῷ Θεῷ·

[00154] ἔλεγε δὲ, Ποῦ εἶ, ἐπειδὴ ἔλεγεν αὐτοῖς ὁ διάβολος, ὅτι Ἐν ᾗ ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοί·

[00155] ὡς ὑπολαμβανόντων αὐτῶν, ὅτι μέλλουσι γενέσθαι ὡς θεοὶ, διὰ τοῦτο ἔλεγεν ὁ Θεὸς αὐτῷ·

[00156] Ἀδὰμ, ποῦ εἶ;

[00157] ἀνθ' ὧν, ὅτι ἔφαγες καὶ ἔμεινας ἄνθρωπος·

[00158] οὐ παρήγγειλά σοι ἐκ τοῦ ξύλου τούτου μὴ φαγεῖν;

[00159] ἔφαγες δὲ, καὶ παρέβης·

[00160] τοῦτό ἐστι τὸ, Ποῦ εἶ;

[00161] Φύλλα δὲ συκῆς ἦσαν περιβεβλημένοι, σκέποντες τὸ εἶδος τῆς ἁμαρτίας.

[00162] Καὶ τί φησιν ὁ Ἀδάμ;

[00163] Ἤκουσά σου τῆς φωνῆς περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐκρύβην.

[00164] Καί φησι·

[00165] Τί τοῦτο ἐποίησας;

[00166] Καί φησι πρὸς τὸν Θεόν·

[00167] Ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὕτη με ἠπάτησεν.

[00168] Εἶτα πρὸς τὴν Εὔαν, Τίς σέ;

[00169] Καὶ τί φησιν ἐκείνη;

[00170] Ὁ ὄφις ἠπάτησέ με.

[00171] Ὦ Εὔα, ἔστω, σὲ τῷ ἀνδρί σου ἔδωκα, μὴ καὶ τῷ ὄφει σε ἔδωκα;

[00172] Ταῦτα δὲ προεφασίζοντο, ὡς βουλόμενοι ἑαυτοὺς ὑπεξαιρεῖν τῆς τιμωρίας.

[00173] Καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ·

[00174] Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι·

[00175] ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου.

[00176] Εἶτα πρὸς τὴν γυναῖκα·

[00177] Ἐν λύπαις τέξῃ τέκνα, καὶ πληθύνων πληθυνῶ τὰς λύπας σου·

[00178] καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

[00179] Εἶτα πρὸς τὸν ὄφιν·

[00180] Ἐν τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·

[00181] καὶ ὁ ἄνθρωπος σοῦ κυριεύσει·

[00182] αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ πτέρναν.

[00183] Διὰ τί δὲ τῷ ὄφει ἐπικατηράσατο ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεσθαι, καὶ γῆν τρώγειν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ;

[00184] Τὸ στῆθος κατηράσατο, ἐπειδὴ ἐν αὐτῷ ἐγκάθηται ἡ καρδία ἡ ἐνθυμηθεῖσα τὸ κακόν·

[00185] τὴν κοιλίαν, ἐπειδὴ διὰ βρώσεως ἠπάτησε·

[00186] γῆν δὲ ἐκέλευσε φαγεῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐπειδὴ ὁ Ἀδὰμ ἐκ γῆς χοϊκὸς ἦν.

[00187] Ἔλαβον οὖν οἱ τρεῖς τὴν ἀπόφασιν, ἐπειδὴ καὶ οἱ τρεῖς τὴν παράβασιν ἐποιήσαντο.

[00188] Ἐπειδὴ ἀπὸ ξύλου ἡ παράβασις ἐγένετο, καθὼς προλαβὼν εἶπον, διὰ τοῦτο εἰς ξύλον ἠβουλήθη τὴν ἀπαρχὴν ταύτην προσηλῶσαι, ἵν' ὥσπερ διὰ ξύλου ἡ παράβασις, οὕτω διὰ ξύλου ἡ σωτηρία.

[00189] Ὑπὲρ δὲ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00190] Ἀμήν.

[00191] ἀὰὰ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In venerabilem crucem sermo**
**Litterarum Omnium Conspectus: 126 Litterae, quae repetitae sunt in 11,506 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 940 | Α | 0913 | 3 |

| | | | | | |
|---|---|---|---|---|---|
| β | 0946 | 84 | Β | 0914 | 2 |
| γ | 0947 | 196 | Γ | 0915 | 1 |
| δ | 0948 | 208 | Δ | 0916 | 0 |
| ε | 0949 | 491 | Ε | 0917 | 11 |
| ζ | 0950 | 32 | Ζ | 0918 | 1 |
| η | 0951 | 149 | Η | 0919 | 0 |
| θ | 0952 | 142 | Θ | 0920 | 25 |
| ι | 0953 | 440 | Ι | 0921 | 3 |
| κ | 0954 | 381 | Κ | 0922 | 19 |
| λ | 0955 | 291 | Λ | 0923 | 7 |
| μ | 0956 | 308 | Μ | 0924 | 9 |
| ν | 0957 | 983 | Ν | 0925 | 3 |
| ξ | 0958 | 37 | Ξ | 0926 | 0 |
| ο | 0959 | 692 | Ο | 0927 | 8 |
| π | 0960 | 335 | Π | 0928 | 26 |
| ρ | 0961 | 472 | Ρ | 0929 | 0 |
| ς | 0962 | 484 | • | 0930 | 0 |
| σ | 0963 | 496 | Σ | 0931 | 8 |
| τ | 0964 | 843 | Τ | 0932 | 13 |
| υ | 0965 | 250 | ϒ | 0933 | 6 |
| φ | 0966 | 69 | Φ | 0934 | 2 |
| χ | 0967 | 72 | Χ | 0935 | 29 |
| ψ | 0968 | 16 | Ψ | 0936 | 0 |
| ω | 0969 | 177 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 11 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 152 | έ | 8051 | 157 | ή | 8053 | 58 | ί | 8055 | 157 | ό | 8057 | 119 | ύ | 8059 | 89 | ώ | 8061 | 43 |
| ὰ | 8048 | 100 | ὲ | 8050 | 54 | ὴ | 80852 | 93 | ὶ | 8054 | 180 | ὸ | 8056 | 219 | ὺ | 8058 | 22 | ὼ | 8060 | 14 |
| ᾶ | 8118 | 14 | | | 0 | ῆ | 8134 | 44 | ῖ | 8150 | 67 | | | 0 | ῦ | 8166 | 82 | ῶ | 8182 | 79 |
| ἀ | 7936 | 116 | ἐ | 7952 | 156 | ἠ | 7968 | 6 | ἰ | 7984 | 35 | ὀ | 8000 | 5 | ὐ | 8016 | 83 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 5 | ἑ | 7953 | 25 | ἡ | 7969 | 40 | ἱ | 7985 | 17 | ὁ | 8001 | 30 | ὑ | 8017 | 39 | ὡ | 8033 | 8 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 2 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 31 | ἔ | 7956 | 27 | ἤ | 7972 | 1 | ἴ | 7988 | 8 | ὄ | 8004 | 12 | ὔ | 8020 | 10 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 26 | ὅ | 8005 | 20 | ὕ | 8021 | 11 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 8 | ἶ | 7990 | 35 | | | 0 | ὖ | 8022 | 17 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 8 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 2 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 9 | | | 0 | ῃ | 8131 | 36 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 20 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 17 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 31 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In venerabilem crucem sermo**

**Verborum Omnium Conspectus: 1,053Verba, quae repetita sunt in 3,621,316 occasionibus**

**ἀὰὰ** [00191]
**ἀγαπητὲ** [00113]
**ἀγγέλους** [00139]
**ἀγγέλων** [00074]
**ἅγια** [00033]
**ἅγιον** [00028]
**ἁγίῳ** [00189]
**ἄγνοιαν** [00152]
**ἀγνώμονες** [00067]
**Ἀδὰμ** [00142] [00156] [00186]
**Ἀδάμ** [00150] [00162] [00173]
**ἀδικουμένων** [00114]
**ἀδίκων** [00114]
**ᾅδου** [00079]
**ἀδυνάμων** [00114]
**ἀεὶ** [00189]
**ἀθανασίαν** [00094]
**αἷμα** [00084] [00093] [00096]
**αἱρετικοὶ** [00067]
**αἰσθητὴν** [00044]
**αἰῶνας** [00189]
**αἰώνιον** [00085]
**αἰώνιος** [00066]
**αἰῶνος** [00084]
**αἰώνων** [00076] [00189]
**ἀκάματον** [00100]
**ἀκάνθας** [00039] [00042] [00174]
**ἀκατάληπτον** [00063]
**ἀκολάστων** [00114]
**ἄκουε** [00113] [00117] [00129]
**ἀκούεις** [00111]
**ἀκουόντων** [00046]
**ἀκούσεις** [00116]
**ἀκούσῃς** [00034] [00035] [00068] [00119] [00152]

**ἀκτῖνας** [00041] [00042]
**ἀληθινὸν** [00066]
**ἀλλ** [00044] [00086] [00092] [00112]
**ἀλλὰ** [00021] [00024] [00028] [00044] [00044] [00061] [00068] [00084] [00111] [00115] [00119]
**Ἀλλὰ** [00016] [00018] [00041]
**ἀλλήλοις** [00082]
**ἄλλον** [00081]
**ἄλλων** [00057]
**ἄλογα** [00034]
**ἀλογίστοις** [00031]
**ἄλογον** [00044]
**ἁμαρτίας** [00161]
**ἀμέριμνον** [00102]
**Ἀμήν** [00190]
**ἂν** [00093] [00146]
**ἀναγινώσκοντες** [00067]
**ἀναίσθητον** [00044]
**ἀναπέμψωμεν** [00189]
**ἀνασπάσωσι** [00039]
**ἀνασπῶ** [00042]
**ἀνάστασις** [00114]
**ἀνατεῖλαι** [00137]
**ἀνατελεῖ** [00174]
**ἀνατέμνω** [00042]
**ἀνατέμωσι** [00039]
**ἀνατροπὴ** [00114]
**ἀνάψας** [00134]
**ἄνδρα** [00148] [00178]
**ἀνδρὶ** [00056]
**ἀνδρί** [00171]
**ἀνδρῶν** [00114]
**ἀνέ** [00056]
**ἀνέμοις** [00138]
**ἀνέμων** [00057]
**ἀνεξιχνίαστον** [00063]
**ἄνεσις** [00114]
**ἀνθ** [00157]
**ἀνθρώπινον** [00112] [00141]
**ἄνθρωπον** [00140]
**ἄνθρωπος** [00024] [00104] [00157] [00181]
**ἀνθρωπότητι** [00075]
**ἀνθρώπου** [00105]
**ἀνθρώπων** [00001]
**ἀνιμᾶσθαι** [00030]
**ἀνιμήσασθαι** [00027]
**ἀνιμησώμεθα** [00028]
**ἀνόμων** [00114]
**ἀντὶ** [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028]
**ἀνώλεθρον** [00063]
**ἀξίους** [00038]
**ἀπ** [00146]
**ἀπαιδεύτων** [00114]
**ἁπάντων** [00189]
**ἀπαρχὴν** [00141] [00188]
**ἁπάσης** [00019]
**Ἀπέθανεν** [00094]
**ἀπέραντον** [00063]
**ἀπέστειλας** [00066] [00111]
**ἀπηλπισμένων** [00114]
**ἁπλῶς** [00039]
**ἀποθανόντα** [00072]
**ἀποθήκας** [00041]
**ἀπολέσαι** [00093]
**ἀπόρων** [00114]
**ἀποσμήχουσαν** [00021]
**ἀποστόλων** [00114]
**ἀποστροφή** [00178]
**ἀποσώζων** [00014]
**ἀπόφασιν** [00187]
**ἀπώλεια** [00114]
**ἄριστος** [00014] [00057]
**ἄροτρον** [00039] [00042]
**ἄῤῥηκτον** [00077]
**ἄρτον** [00175]
**ἄρτος** [00114]
**ἄρτων** [00069]
**ἀρχαγγέλους** [00139]
**ἀρχὰς** [00084]
**Ἀρχὰς** [00139]
**ἀρχῇ** [00130] [00131]
**ἀσεβῶν** [00114]
**ἄσκησις** [00114]
**ἄσταχυν** [00040]
**ἄστρων** [00133]
**ἀσφάλεια** [00114]
**ἀσφαλές** [00121]
**ἀσώματον** [00063]
**ἀσώματος** [00144]
**ἀσωτίᾳ** [00036]
**αὔλακας** [00039] [00042]
**ἄϋλον** [00063]
**αὐτὰ** [00039] [00041]
**Αὕτη** [00065] [00066]
**αὐτῇ** [00056] [00056]
**αὕτη** [00167]
**αὐτὴν** [00141]
**αὐτῆς** [00079]
**αὐτὸ** [00091]
**αὐτοῖς** [00143] [00154]
**αὐτὸν** [00024] [00061] [00062]
**αὐτόν** [00140] [00142]
**Αὐτὸς** [00078]
**αὐτὸς** [00062] [00062] [00142]
**αὐτός** [00178] [00182]
**αὐτοῦ** [00090] [00091] [00093] [00124] [00132] [00132] [00146] [00182] [00183] [00186]
**αὐτοὺς** [00057]
**αὐτῷ** [00024] [00091] [00134] [00155] [00184]
**αὐτῶν** [00149] [00155]
**ἀφανισμὸς** [00114]
**ἄφθαρτον** [00063]
**ἄφοβον** [00101]
**ἄψυχον** [00044]

**βαδίζοντα** [00056]

**βαδιζόντων** [00057]
**βάθους** [00030]
**βακτηρία** [00114]
**βάλητε** [00033]
**βαπτισθῇς** [00116]
**βαρβάρων** [00114]
**βασιλέων** [00114]
**βίῳ** [00082]
**βόας** [00042]
**βοτάνην** [00137]
**Βούλομαι** [00021] [00054]
**βούλομαι** [00026] [00122]
**βουλόμενοι** [00027] [00172]
**βοῦς** [00039]
**βρύειν** [00137]
**βρώσει** [00082]
**βρώσεως** [00185]
**βρῶσιν** [00145]
**βυθὸν** [00027]
**βωμῶν** [00114]

**γὰρ** [00019] [00024] [00026] [00030] [00036] [00039] [00043] [00044] [00046] [00051] [00062] [00063] [00064] [00065] [00076] [00082] [00084] [00086] [00087] [00088] [00093] [00120] [00121] [00122] [00144]
**γάρ** [00008] [00010] [00012] [00014] [00014] [00017] [00022] [00023] [00027] [00032]
**γαστριμάργων** [00022]
**γέγονεν** [00132]
**Γέγραπται** [00032]
**γέγραπται** [00065]
**γενέσθαι** [00155]
**γένηται** [00057]
**γεννηθέντα** [00076]
**γενομένων** [00057]
**γένος** [00112] [00141]
**γενώμεθα** [00092]
**γεωργὸς** [00045]
**γῆ** [00040] [00174]
**γῇ** [00137]
**γῆν** [00039] [00044] [00044] [00136] [00180] [00183] [00186]
**γηπόνοι** [00039]
**γῆς** [00039] [00045] [00138] [00186]
**γινώσκοντες** [00146]
**γινώσκωσί** [00066]
**γνῶναι** [00113]
**γυμνοί** [00149]
**γυμνότητα** [00115]
**γυμνῶν** [00114]
**γυναῖκα** [00176]
**γυναικὸς** [00103]
**γυναικῶν** [00069]
**γυνὴ** [00167]

**δαιμόνων** [00114]
**Δαυῒδ** [00088]
**δὲ** [00021] [00028] [00034] [00037] [00042] [00054] [00056] [00056] [00056] [00057] [00057] [00058] [00061] [00062] [00068] [00075] [00080] [00082] [00115] [00116] [00119] [00121] [00139] [00140] [00141] [00142] [00149] [00154] [00159] [00161] [00172] [00183] [00186] [00189]
**δέ** [00057] [00057]
**δεδοικὼς** [00057]
**δεῖ** [00064]
**δεῖξαι** [00054]
**δείξας** [00133]
**δελεαζόμεθα** [00082]
**Δεσπότην** [00010]
**Δεσπότου** [00037]
**δὴ** [00015] [00025] [00113]
**δι** [00112] [00132]
**Διὰ** [00076] [00183]
**διὰ** [00056] [00057] [00111] [00112] [00112] [00138] [00141] [00141] [00155] [00185] [00188] [00188] [00188]
**διάβολος** [00142] [00154]
**διαβόλου** [00114] [00141]
**διαβόλῳ** [00083]
**Διαθήκην** [00028]
**διαλεχθῆναι** [00144]
**διαλυθέντων** [00057]
**διάστασιν** [00062]
**διατρέχειν** [00138]
**διαφεύγων** [00014]
**διδάσκαλοι** [00019]
**διδασκάλους** [00006] [00018] [00122]
**δίκαιος** [00089]
**δικαίων** [00114]
**δίκη** [00082]
**διψήσαντα** [00070]
**διψώντων** [00114]
**δόξαν** [00189]
**δοξάσῃ** [00108]
**δόξασόν** [00108]
**δοξάσω** [00110]
**Δοξάσωμεν** [00077]
**δούλων** [00114]
**δρόμους** [00134]
**δύναμιν** [00113]
**δύναμις** [00114]
**δύναται** [00063] [00081]
**δύο** [00069]
**δυσμάς** [00135]
**δώσωμεν** [00083]

**ἐὰν** [00039] [00052]
**Ἐὰν** [00090]
**ἑαυτὴν** [00056]
**ἑαυτῆς** [00148]
**ἑαυτοῖς** [00031]
**ἑαυτὸν** [00024] [00112]
**ἑαυτοῦ** [00062] [00095] [00096] [00106] [00112] [00140]
**ἑαυτοὺς** [00027] [00028] [00029] [00038] [00053] [00172]
**ἑαυτούς** [00025]
**ἑαυτῶν** [00010]
**ἐβαπτίσθη** [00098]
**ἐβαπτίσθητε** [00118]
**ἑβδομάδας** [00139]
**ἐβούλετο** [00093]

**ἐβουλήθη** [00141]
**ἐγείραντα** [00072]
**ἐγείρουσαν** [00056]
**Ἐγένεσθε** [00019]
**ἐγένετο** [00132] [00132] [00188]
**ἐγκάθηται** [00184]
**ἐγκώμια** [00113]
**ἐγὼ** [00042] [00045]
**ἐγώ** [00049]
**ἐδίψησεν** [00096]
**ἐδόξασα** [00110]
**ἔδωκα** [00171] [00171]
**ἔδωκάς** [00167]
**ἔδωκεν** [00106]
**ἔθετο** [00140]
**Εἰ** [00093]
**Εἴ** [00112]
**εἰ** [00113]
**εἶ** [00079] [00151] [00152] [00154] [00156] [00160]
**εἶδος** [00161]
**εἰκῆ** [00037]
**εἰκόνα** [00140]
**εἰμι** [00046]
**εἶναι** [00038] [00061] [00122]
**εἶπον** [00030] [00060] [00111] [00120] [00188]
**εἴπω** [00002] [00061] [00115]
**εἴρηται** [00076] [00123] [00124] [00125]
**εἰς** [00039] [00041] [00046] [00070] [00118] [00135] [00142] [00145] [00188] [00189]
**ΕΙΣ** [00001]
**εἰσι** [00027]
**Εἶτα** [00168] [00176] [00179]
**εἶτα** [00148]
**ἐκ** [00030] [00069] [00076] [00103] [00109] [00126] [00127] [00142] [00158] [00186]
**ἔκ** [00125]
**ἐκάθισεν** [00097]
**ἑκάστην** [00089]
**ἐκβαλεῖν** [00138]
**ἐκβάλῃ** [00086]
**ἐκδέχομαι** [00042]
**ἐκδέχονται** [00041]
**ἔκδικος** [00114]
**ἐκεῖνα** [00041]
**ἐκείνη** [00148] [00169]
**ἐκείνης** [00024]
**ἐκέλευσε** [00186]
**Ἐκκλησίαν** [00079]
**Ἐκκλησίας** [00114]
**ἐκλήθη** [00104] [00105]
**ἐκληρώθην** [00045]
**ἐκοιμήθη** [00102]
**ἐκπέμπει** [00024]
**ἐκρύβην** [00163]
**ἐκτείνας** [00133]
**ἔλαβε** [00106]
**Ἔλαβον** [00187]
**ἔλεγε** [00154]
**ἔλεγεν** [00154] [00155]
**ἐλεήμονα** [00087]
**ἐλευθερία** [00114]
**ἐλευθερώσῃ** [00099]
**ἑλκύσωσι** [00039]
**ἑλκύω** [00042]
**ἐλπὶς** [00065] [00114] [00114]
**ἐμβάλῃ** [00086]
**ἔμεινας** [00157]
**Ἐμοὶ** [00121]
**ἐμὸν** [00052]
**ἐμπεσόντα** [00086]
**ἐμποιοῦσα** [00022]
**ἔμπροσθεν** [00033]
**ἐμπτυόμενον** [00074]
**ἐν** [00036] [00051] [00054] [00056] [00056] [00061] [00061] [00082] [00091] [00097] [00103] [00114] [00131] [00140] [00141] [00142] [00143] [00163] [00174] [00175] [00184]
**ἓν** [00132]
**Ἐν** [00082] [00130] [00146] [00154] [00177] [00180]
**ἐνδεδυμένος** [00116]
**ἐνδύσασθαι** [00141]
**ἐνεδύσασθε** [00118]
**ἐνεδύσατο** [00123]
**ἐνέτεινε** [00091]
**ἐνήργησεν** [00142]
**ἐνθυμηθεῖσα** [00184]
**ἐνιαυτοὺς** [00139]
**ἔνσαρκον** [00068] [00068] [00119]
**Ἐντεῦθεν** [00067]
**ἐξαγαγεῖν** [00026]
**ἐξελκομένων** [00057]
**ἐξεῤῥιμμένα** [00057]
**ἐξέχεεν** [00093]
**ἐξουσίας** [00084]
**Ἐξουσίας** [00139]
**Ἔοικεν** [00056]
**ἐπ** [00014] [00057]
**ἐπάγω** [00075]
**ἐπάγων** [00089]
**ἐπεὶ** [00076]
**Ἐπεὶ** [00069]
**ἐπειδὴ** [00123] [00125] [00126] [00127] [00128] [00154] [00184] [00185] [00186] [00187]
**Ἐπειδὴ** [00188]
**ἐπείνασεν** [00095]
**ἐπὶ** [00014] [00027] [00028] [00039] [00056] [00057] [00058] [00071] [00077] [00079] [00107] [00136] [00138] [00183]
**ἐπι** [00138]
**ἐπιβατῶν** [00028]
**ἐπιγινώσκοντες** [00067]
**Ἐπικατάρατος** [00174]
**ἐπικατηράσατο** [00183]
**ἐπιλαβομένων** [00057]
**ἐπιλαμβάνονται** [00067]
**ἐπίσαλον** [00056]
**ἐπιστραφῆτε** [00090]
**ἐπιτάξας** [00137]
**ἔπλευσε** [00101]
**ἐποιήσαντο** [00187]
**ἐποίησας** [00165]
**ἐποίησεν** [00086]
**ἐργάζομαι** [00044]
**ἔργοις** [00174]

**ἐροῦμεν** [00020]
**ἑρπετοῖς** [00138]
**ἐῤῥαπίσθη** [00099]
**ἐῤῥίφη** [00142]
**ἐρῶ** [00019]
**ἔσεσθε** [00146] [00154]
**ἐστε** [00008] [00010] [00012] [00014] [00017] [00052]
**Ἐστὲ** [00019]
**ἐστι** [00023] [00054] [00160]
**ἐστὶν** [00066]
**ἐστιν** [00022] [00059] [00081] [00084] [00133] [00134] [00135] [00136] [00137]
**ἔστω** [00171]
**Ἔσχατον** [00140]
**ἑτέρων** [00057]
**ἕτοιμοι** [00017]
**Εὔα** [00171]
**Εὐαγγελίῳ** [00051]
**Εὔαν** [00145] [00147] [00168]
**εὔδιον** [00014] [00057]
**εὐπορία** [00114]
**εὑρὼν** [00039]
**εὐσεβοῦσιν** [00064]
**εὐωδίᾳ** [00024]
**εὐωδίαν** [00024]
**εὐωδίας** [00023] [00024]
**ἔφαγες** [00157] [00159]
**ἔφαγον** [00148]
**ἔχει** [00062]
**ἔχομεν** [00087]
**ἔχοντες** [00028]

**ζευγνύω** [00042]
**ζεύξωσι** [00039]
**ζεφύρου** [00028]
**ζῆλον** [00007]
**Ζηλώσας** [00142]
**ζυγῷ** [00138]
**ζῶα** [00034]
**ζωὴ** [00066]
**ζωῆς** [00180] [00183] [00186]
**ζῶντας** [00036]
**ζωοποιὸν** [00001]
**ζώσας** [00138]

**ἡ** [00022] [00022] [00040] [00065] [00066] [00084] [00141] [00141] [00174] [00178] [00184] [00184] [00188] [00188] [00188]
**ἣ** [00002] [00003] [00004] [00005] [00006]
**Ἡ** [00167]
**ᾗ** [00146] [00154]
**ἠβουλήθη** [00188]
**ἤδη** [00057]
**ἡδοναῖς** [00082]
**ἠδύνατο** [00144]
**Ἤκουσά** [00163]
**ἦλθε** [00109]
**ἥλιον** [00134]
**ἡλίου** [00041] [00042]
**ἡμᾶς** [00086] [00092] [00093]
**ἡμεῖς** [00028] [00028]
**ἡμέρᾳ** [00146] [00154]
**ἡμέραν** [00089]
**ἡμέρας** [00139] [00180] [00183] [00186]
**ἡμέτερα** [00106]
**ἡμετέραν** [00141]
**ἡμῖν** [00084] [00106]
**ἡμῶν** [00065] [00067] [00093]
**ἣν** [00167]
**ἦν** [00130] [00130] [00130] [00131] [00142] [00186]
**ἠπάτησέ** [00170]
**ἠπάτησε** [00185]
**ἠπάτησεν** [00147] [00167]
**ἦσαν** [00161]
**ἡσύχιοι** [00008]
**ἡτοίμασε** [00091]
**ἡτοίμασεν** [00091]
**ηὔξατο** [00107]

**θάλασσαν** [00027] [00056]
**θαλάσσῃ** [00138]
**θάνατον** [00048]
**θανάτου** [00091]
**θαυμάσω** [00007]
**θεῖναι** [00081]
**θεὶς** [00138]
**θέλεις** [00113]
**Θεμέλιον** [00081]
**θεμέλιον** [00077]
**θεμέλιος** [00114]
**θεμελιώσας** [00136]
**θεοὶ** [00146] [00155]
**θεοί** [00154]
**Θεὸν** [00061] [00066] [00068] [00068] [00087] [00119] [00130]
**Θεόν** [00064] [00131] [00166]
**θεὸν** [00104]
**Θεὸς** [00056] [00086] [00089] [00092] [00128] [00130] [00150] [00155] [00173]
**Θεός** [00054] [00059]
**θεότητι** [00075]
**Θεοῦ** [00105] [00127]
**θερίζω** [00043]
**θερισμοῦ** [00041]
**θέρος** [00041] [00042]
**Θεῷ** [00153]
**θεωρεῖ** [00058]
**θεωροῦντι** [00056]
**θλιβομένων** [00114]
**θρέψαντα** [00069]
**θρόνους** [00139]

**ἰατρὸς** [00114]

**ἱδρῶτι** [00175]
**Ἰδὼν** [00141]
**ἱερέων** [00114]
**Ἰησοῦν** [00066] [00077]
**Ἰησοῦς** [00051] [00081] [00124]
**ἵν** [00141] [00188]
**ἵνα** [00028] [00039] [00066] [00082] [00086] [00086] [00092] [00092] [00094] [00095] [00096] [00097] [00098] [00099] [00100] [00101] [00102] [00103] [00104] [00105] [00107] [00108] [00111] [00112]
**Ἰουδαίων** [00074] [00114]
**ἱστίου** [00028]
**ἰσχυρὸς** [00089]
**ἰχθύων** [00069]
**Ἰωάννου** [00129]

**καθ** [00089] [00140]
**καθαίρεσις** [00114] [00114]
**Καθάπερ** [00014]
**καθάπερ** [00024] [00133] [00142]
**καθαρισμὸς** [00114]
**καθημένοις** [00114]
**καθήμενον** [00061]
**καθήμενος** [00014] [00058]
**καθημένῳ** [00056]
**καθίσῃ** [00097]
**καθὼς** [00022] [00030] [00060] [00065] [00107] [00188]
**Καινὴν** [00028]
**καιρὸν** [00041]
**κακίας** [00141]
**κακόν** [00184]
**καλέσῃ** [00104] [00105]
**καλέσω** [00003] [00008] [00009] [00011] [00013] [00016] [00018]
**Καλὸν** [00145]
**καρδία** [00184]
**κατ** [00140]
**καταβάλλονται** [00039] [00039]
**κατάγγελμα** [00114]
**καταλαμβάνειν** [00057]
**καταστήσῃ** [00101]
**κατενέγκῃ** [00039]
**κατεργάζεται** [00048]
**κατηράσατο** [00184]
**κατισχύσουσιν** [00079]
**καύχημα** [00114]
**κείμενον** [00081]
**κεφαλὴ** [00114]
**κεφαλὴν** [00182]
**κήρυγμα** [00114]
**κινεῖσθαι** [00138]
**κλυδωνίων** [00012]
**κνίσσης** [00114]
**κοιλίᾳ** [00180] [00183]
**κοιλίαν** [00185]
**κόλασιν** [00085] [00086]
**κολυμβητῶν** [00027]
**κόρον** [00022]
**κοσμήσας** [00133]
**κοσμοκράτορας** [00084]
**κρίνῃ** [00092]
**κρίσις** [00082]
**κριτὴς** [00089] [00114]
**κτήνεσι** [00138]
**Κυβερνήτας** [00013]
**κυβερνήτας** [00005]
**κυβερνήτης** [00014] [00057] [00114]
**κυβερνήτου** [00028]
**κύμασιν** [00057]
**κύνας** [00035] [00035] [00037]
**κυριεύσει** [00178] [00181]
**κυσί** [00033]

**λαβοῦσα** [00040]
**λαβρότερον** [00007]
**λαγόνας** [00039]
**Λαζάρου** [00107]
**λαλήσω** [00002]
**λαλῶ** [00046]
**λέγει** [00036] [00037] [00047] [00051] [00078] [00080] [00092] [00107]
**λέγειν** [00121]
**λεγομένοις** [00053]
**λέγοντος** [00117] [00129]
**λέγουσα** [00109]
**λέγω** [00055] [00060] [00115] [00139]
**λέγων** [00088] [00120]
**λειμῶνα** [00133]
**λεπρῶν** [00114]
**λιμένα** [00014] [00057]
**λιμὴν** [00114]
**λίμναις** [00137]
**λογίζου** [00068]
**λογικὴν** [00044]
**λογίσῃ** [00119] [00152]
**Λόγον** [00068]
**λόγον** [00026] [00052]
**Λόγος** [00023] [00125] [00130] [00130] [00130]
**λόγῳ** [00055] [00060] [00133]
**λύπαις** [00177]
**λύπας** [00177]
**λυσσῶντας** [00037]

**μαθηταῖς** [00051]
**μαθητὰς** [00006] [00016] [00028]
**Μακάριοί** [00052]
**μακάριοι** [00050]
**Μακάριος** [00049]
**μακάριός** [00046]
**μακάριος** [00045]
**μακρόθυμος** [00089]
**μᾶλλον** [00021]
**μαργαρίτην** [00027] [00028] [00033]
**μαργαρίτου** [00028] [00030] [00038]
**Μαρίας** [00076]

**Μαρτυρεῖ** [00088]
**μαρτύρων** [00114]
**μασσώμενος** [00024]
**με** [00111] [00167] [00170]
**μεγαλοπρέπεια** [00114]
**μέλλοντι** [00082]
**μέλλουσι** [00155]
**μέλλω** [00030] [00038]
**μὲν** [00041] [00075] [00077] [00082] [00121] [00142]
**μεταβαλόντα** [00070]
**μετάνοια** [00114]
**μηδὲ** [00119]
**μῆνας** [00139]
**μήποτε** [00057]
**μήτε** [00068]
**μιμούμενοι** [00010]
**μοι** [00029] [00029] [00167]
**μοναζόντων** [00114]
**μόνην** [00068] [00119]
**Μονογενὴς** [00127]
**μόνον** [00024] [00061] [00066] [00068] [00119]
**μόνος** [00127]
**μόνου** [00127]
**μου** [00079] [00111]
**μους** [00056]
**μύρον** [00024]

**Ναύτας** [00011]
**ναύτας** [00005]
**ναυτῶν** [00028]
**ναῶν** [00114]
**νεκροὺς** [00072]
**νεκρῶν** [00114]
**νεφέλαις** [00138]
**νηπίων** [00114] [00114]
**νῖκος** [00114]
**νικώμενον** [00141]
**νοεῖν** [00064]
**νοημάτων** [00028] [00030]
**νόμιζε** [00061]
**νομίσης** [00034] [00035]
**νόμος** [00114]
**νοσούντων** [00114]
**νύκτας** [00139]
**νῦν** [00120] [00189]

**ξύλον** [00145] [00188]
**ξύλου** [00141] [00141] [00148] [00158] [00188] [00188] [00188]
**ξύλῳ** [00141]

**ὁ** [00039] [00056] [00058] [00059] [00086] [00092] [00108] [00130] [00130] [00130] [00133] [00134] [00135] [00136] [00137] [00142] [00142] [00150] [00154] [00155] [00162] [00173] [00181] [00186]
**ὃ** [00132]
**Ὁ** [00089] [00170]
**ὁδηγὸς** [00114]
**ὁδὸν** [00057]
**ὁδὸς** [00114]
**οἱ** [00039] [00067] [00067] [00067] [00187] [00187]
**οἰάκων** [00014]
**Οἶδα** [00111]
**οἶδα** [00069] [00069] [00070] [00070] [00071] [00071] [00072] [00072] [00073] [00073] [00074] [00074] [00076] [00076]
**οἰκοδομήσω** [00079]
**οἰκονομίαν** [00068] [00068] [00119]
**οἰκουμένης** [00019] [00114]
**οἰκτειρήσῃ** [00103]
**οἰκτροῦ** [00057]
**οἶνον** [00070]
**ὀκνηρὸν** [00121]
**ὄμβρον** [00041] [00042]
**Ὁμοίως** [00080]
**ὁμοίωσιν** [00140]
**ὂν** [00066]
**ὄνομα** [00124]
**ὄντα** [00076]
**ὄντες** [00067]
**ὅπλῳ** [00142]
**Ὁρᾷς** [00133]
**ὀργὴν** [00089]
**ὄρη** [00138]
**ὀρθὴν** [00057]
**ὅρια** [00138]
**ὁρίσας** [00135]
**ὁρμίσαι** [00057]
**ὀρφανῶν** [00114]
**ὅς** [00081]
**ὅσα** [00113]
**Ὅσοι** [00118]
**ὅταν** [00034] [00035] [00046] [00068] [00115] [00119]
**Ὅταν** [00061] [00116] [00152]
**ὅτι** [00030] [00060] [00111] [00111] [00133] [00142] [00145] [00154] [00155] [00157]
**Οὐ** [00062] [00084] [00086]
**οὐ** [00021] [00022] [00024] [00042] [00079] [00112] [00115] [00120] [00158]
**οὑ** [00038]
**οὐδὲ** [00042] [00042] [00042] [00042] [00042] [00042] [00112] [00132]
**οὐδεὶς** [00081]
**οὐδέν** [00062]
**Οὐκ** [00044]
**οὐκ** [00044] [00044] [00093] [00121] [00144]
**οὐκοῦν** [00028]
**οὖν** [00020] [00031] [00038] [00049] [00053] [00077] [00082] [00083] [00085] [00094] [00112] [00123] [00142] [00147] [00187]
**οὐράνιον** [00041]
**οὐρανὸν** [00133]
**οὐρανόν** [00133]
**οὐρανοῦ** [00142]
**οὐρανῶν** [00109]
**οὖσαν** [00056]
**οὐσίας** [00139]
**οὖσιν** [00143]
**οὔτε** [00042]
**Οὗτός** [00134]
**οὗτός** [00059] [00133] [00135] [00136] [00137]

**οὗτος** [00131]
**οὕτω** [00015] [00064] [00141] [00143] [00188]
**οὐχ** [00028] [00039] [00092]
**ὄφει** [00142] [00171] [00183]
**ὄφιν** [00179]
**ὄφις** [00170]
**ὄχλον** [00111]
**ὀψίαν** [00057]

**παιδαγωγὸς** [00114]
**παιδίων** [00069]
**Παλαιὰν** [00028]
**πάλη** [00084]
**Πάλιν** [00019]
**πάλιν** [00047] [00110] [00141]
**πάντα** [00058] [00062] [00132] [00146]
**πάντας** [00122]
**πανταχοῦ** [00061]
**πάντες** [00111]
**πάντοτέ** [00111]
**παρὰ** [00064] [00081]
**παραβάσεως** [00001]
**παράβασιν** [00103] [00187]
**παράβασις** [00141] [00188] [00188]
**παραδείσῳ** [00103] [00140] [00142] [00143] [00163]
**παραθεῖναι** [00021]
**Παρακαλῶ** [00082]
**παρακαλῶ** [00029]
**Παρακοὴ** [00048]
**παραλυτικῶν** [00114]
**παραμυθία** [00114]
**παραμυθούμενος** [00024]
**παραπέμψησθε** [00031]
**παρασκευάζων** [00024]
**παρατιθέναι** [00038]
**παρέβης** [00159]
**παρεστῶτα** [00073] [00111]
**παρεστῶτας** [00024]
**παρέχοντές** [00029]
**παρήγγειλά** [00158]
**παρθένων** [00114]
**παρόντι** [00082]
**πᾶσαν** [00056]
**πάσας** [00180] [00183] [00186]
**πάσῃ** [00082]
**Πάτερ** [00108]
**Πατέρα** [00028] [00112]
**πατὴρ** [00114]
**Πατρὶ** [00073] [00189]
**Πατρός** [00126]
**Παῦλος** [00080]
**Παύλου** [00117]
**παύσομαι** [00120]
**πεινάσαντα** [00069]
**πεινώντων** [00114]
**πείρᾳ** [00012]
**Πείσας** [00147]
**πέλαγος** [00028]
**πενήτων** [00114]
**πεντακισχιλίους** [00069]
**πέντε** [00069]
**πεπλανημένων** [00114]
**περὶ** [00001] [00113]
**περιβεβλημένοι** [00161]
**περιγενομένων** [00057]
**περιερχόμενοι** [00027]
**περιπατήσαντα** [00071]
**περιπατοῦντος** [00163]
**πετεινοῖς** [00138]
**πέτρᾳ** [00079]
**πέτραν** [00077]
**Πέτρος** [00079]
**Πέτρῳ** [00078]
**πηγαῖς** [00137]
**πηγὴ** [00114]
**πηδαλίου** [00028] [00057]
**Πιλάτῳ** [00073]
**πιστεύσας** [00116]
**πιστεύσωσιν** [00111]
**πίστεως** [00115]
**πιστὸν** [00107]
**πλεόντων** [00114]
**πλεύσαντα** [00071]
**πληθυνῶ** [00177]
**πληθύνων** [00177]
**πληροῦσθαι** [00024]
**πλοῖα** [00056]
**πλοῖον** [00057]
**πλοίῳ** [00097]
**πλοίων** [00057]
**πλουσίων** [00114]
**πνέειν** [00138]
**πνεῖν** [00056]
**Πνεῦμα** [00028]
**πνεῦμα** [00021]
**Πνεύματι** [00189]
**πνευματικὴ** [00022]
**πνευματικὴν** [00021]
**πνευματικὸς** [00023]
**πνέων** [00023]
**ποιήσας** [00140]
**Ποιήσατε** [00038]
**ποιήσῃ** [00100] [00102] [00107]
**ποιητής** [00128]
**ποικίλαις** [00082]
**ποικίλον** [00133]
**Ποιμένας** [00009]
**ποιμένας** [00004]
**πολεμουμένων** [00114]
**Πολλάκις** [00120]
**πορεύεσθαι** [00183]
**πορεύσῃ** [00180]
**πόσει** [00082]
**ποταμοῖς** [00137]

**τειχίζουσαν** [00021]
**τεῖχος** [00077] [00114]
**τέκνα** [00177]
**τέλος** [00114]
**τέξῃ** [00177]
**τετράποσιν** [00138]
**τέχνῃ** [00014]
**τῇ** [00012] [00014] [00024] [00057] [00075] [00075] [00079] [00137] [00138] [00180] [00183]
**τὴν** [00017] [00027] [00028] [00028] [00029] [00039] [00056] [00056] [00057] [00057] [00063] [00068] [00068] [00077] [00079] [00085] [00086] [00090] [00095] [00103] [00103] [00113] [00115] [00115] [00119] [00135] [00136] [00141] [00141] [00145] [00147] [00168] [00176] [00185] [00187] [00187] [00188]
**τηρήσει** [00182]
**τηρήσετε** [00052]
**τῆς** [00001] [00019] [00024] [00039] [00115] [00124] [00138] [00141] [00161] [00163] [00172] [00180] [00183] [00186]
**Τί** [00002] [00020] [00063] [00139] [00165]
**τί** [00002] [00054] [00162] [00169] [00183]
**τι** [00112]
**τίκτει** [00040]
**ΤΙΜΙΟΝ** [00001]
**τιμιώτερον** [00028] [00030]
**τιμωρίας** [00172]
**τινὰ** [00024]
**τίνας** [00003]
**τινές** [00027]
**τινος** [00057] [00125]
**τινῶν** [00057]
**τινων** [00057]
**Τίς** [00168]
**τις** [00014] [00057]
**Τὸ** [00184]
**τὸ** [00014] [00028] [00028] [00028] [00056] [00057] [00057] [00057] [00068] [00070] [00075] [00075] [00077] [00077] [00091] [00093] [00096] [00112] [00119] [00121] [00124] [00141] [00145] [00160] [00161] [00184]
**Τοιαύτη** [00022]
**τοιοῦτον** [00087]
**τοῖς** [00033] [00051] [00053] [00057] [00061] [00064] [00114] [00138] [00138] [00174]
**ΤΟΝ** [00001]
**τὸν** [00007] [00007] [00010] [00027] [00028] [00028] [00028] [00033] [00040] [00052] [00066] [00068] [00068] [00077] [00077] [00077] [00081] [00108] [00111] [00112] [00112] [00119] [00130] [00131] [00133] [00133] [00133] [00134] [00140] [00148] [00150] [00166] [00173] [00175] [00178] [00179]
**τόξον** [00091]
**τόπον** [00083]
**τόπος** [00062]
**τόπου** [00062]
**τότε** [00039] [00040] [00041] [00046] [00116]
**τοῦ** [00027] [00028] [00030] [00037] [00038] [00084] [00084] [00107] [00112] [00113] [00113] [00115] [00141] [00141] [00141] [00142] [00148] [00158] [00175]
**τοὺς** [00024] [00028] [00028] [00035] [00036] [00037] [00084] [00134] [00189]
**τοῦτό** [00160]
**τοῦτο** [00076] [00145] [00155] [00165] [00188]
**τούτου** [00084] [00158]
**τούτους** [00035]
**τούτων** [00189]
**τράπεζα** [00022] [00022]
**τράπεζαν** [00021]
**τρεῖς** [00187] [00187]
**τρέφουσαν** [00021] [00021]
**τριβόλους** [00174]
**τρικυμίαις** [00056] [00057]
**τρικυμίας** [00014]
**τρόπαιον** [00114]
**τρώγειν** [00183]
**τυφλῶν** [00114]
**τῷ** [00051] [00058] [00073] [00078] [00082] [00082] [00083] [00103] [00140] [00141] [00142] [00142] [00143] [00153] [00163] [00171] [00171] [00180] [00183] [00183] [00189] [00189] [00189]
**τῶν** [00001] [00012] [00014] [00022] [00027] [00028] [00030] [00033] [00057] [00057] [00071] [00076] [00097] [00109] [00133] [00136] [00139] [00189]

**ὕδασιν** [00138]
**ὕδατα** [00137]
**ὑδάτων** [00071] [00136]
**ὕδωρ** [00070]
**ὑετὸς** [00039]
**Υἱὸν** [00108]
**υἱὸν** [00105]
**Υἱὸς** [00105] [00126]
**Υἱός** [00108] [00125]
**Υἱῷ** [00189]
**ὑμᾶς** [00003] [00008] [00009] [00011] [00013] [00016] [00018] [00082]
**ὑμεῖς** [00015] [00050]
**ὑμῖν** [00021] [00038] [00054] [00121]
**ὑμῶν** [00007] [00033]
**ὑπακοήν** [00017] [00029]
**ὑπεξαιρεῖν** [00172]
**ὑπὲρ** [00093]
**Ὑπὲρ** [00189]
**ὑπεράνω** [00097]
**ὑπερηφάνων** [00114]
**ὑπέστη** [00112] [00112]
**ὑπὸ** [00074] [00074] [00141]
**ὑποβρύχιον** [00057]
**ὑποβρυχίων** [00057]
**ὑποδείγμασι** [00054]
**ὑπολαμβανόντων** [00155]
**ὑπομείναντες** [00012]
**ὑπομιμνησκόμενος** [00024]
**ὑψηλοῖς** [00061] [00061]

**φαγεῖν** [00158] [00186]
**φάγῃ** [00175] [00180]
**φάγησθε** [00146]
**φάγητε** [00154]
**Φαγόντων** [00149]
**φησι** [00145] [00164] [00166]
**φησιν** [00150] [00162] [00169] [00173]
**φιλανθρωπία** [00114]
**φιλάνθρωπον** [00087]
**φιλονεικῶν** [00057]
**φυγεῖν** [00085]
**φύλαξ** [00114]
**Φύλλα** [00161]
**φύσιν** [00063]
**φωνὴ** [00109]
**φωνῆς** [00163]
**φῶς** [00114] [00139]
**φωτίσῃ** [00098]

**χαλινὸς** [00114]
**χαρὰ** [00114]
**χάριν** [00028]
**χαρίσηται** [00094]
**χειμαζόντων** [00114]
**χειμῶνα** [00012] [00041] [00042]
**χειραγωγεῖ** [00014]
**Χερουβὶμ** [00097] [00139]
**χηρῶν** [00114]
**Χοίρους** [00034] [00036]
**χοίρων** [00033]
**χορὸν** [00133]
**χορτάσῃ** [00095]
**χόρτου** [00137]
**χοϊκὸς** [00186]
**χρησάμενος** [00055] [00060] [00142]
**χρήσησθε** [00031]
**Χριστιανῶν** [00114]
**Χριστὸν** [00028] [00068] [00069] [00069] [00070] [00070] [00071] [00071] [00072] [00072] [00073] [00073] [00074] [00074] [00076] [00076] [00077] [00118] [00118] [00119]
**Χριστόν** [00066]
**Χριστὸς** [00123] [00124]
**Χριστός** [00081]
**χρόνους** [00139]
**χωλῶν** [00114]
**χωρεῖ** [00062]
**χωρῆσαι** [00063]
**χωρὶς** [00069] [00132]
**χωρῶν** [00062]

**ψάμμου** [00138]
**ψυχὰς** [00138]
**ψυχὴν** [00021]
**ψυχικήν** [00044]

**Ὦ** [00171]
**ὡδοιπόρησεν** [00100]
**ὣν** [00062]
**ὧν** [00157]
**ὡραῖον** [00145]
**ὥρας** [00139]
**ὡς** [00031] [00146] [00154] [00155] [00155] [00172]
**ὥσπερ** [00141] [00188]
**ὦτα** [00046]
**ὤφθησαν** [00149]